acturos arbitrantur. Et quæ nemo improbus: laudãda enim magis. Et quæ cupiunt: non enim ſolum iucundum, ſed & melius apparet. Et in quibus maximè ſunt ſinguli tales, vt ſtudioſi victoriæ, ſi victoria aderit, ſtudioſi honoris, ſi honor, ſtudioſi pecuniarum, ſi pecuniæ, & alij eodem modo. Ac de bono quidem, & vtili, ex his ſumenda eſt fides.

CAPVT VII.

QVoniam autem ſæpe qui conſitentur vtrumque vtile eſſe, de eo, quod eſt vtilius, controuerſantur: deinceps ſequitur, vt dicamus, de maiori bono, & de eo, quod eſt vtilius. Sit igitur ſuperans tantum, & amplius. Quod verò ſuperatur, id quod ineſt. Et maius quidem ſemper & plus ad minus. Magnum verò, & paruum, & multum, & paucum ad multorum magnitudinem. Et ſuperãs quidem magnum: at deficiens paruum. Et multum & paucum itidem. Quoniam igitur bonum dicimus, & quod ipſum propter ſe, & nõ aliud eligendum eſt, & quod omnes appetunt, & quod illi, qui mentem, & prudentiam acceperint, eligerent, & quod idoneum eſt ad efficiendum, & cuſtodiendum, & quod conſequuntur talia, id autem, cuius cauſſa res eſt, finis eſt. finis verò eſt, cuius cauſſa alia ſunt, ipſique bonum eſt, quod ad ipſum accommodatum eſt: neceſſe eſt etiam plura vno, & paucioribus connumerato vno, vel paucioribus, maius bonũ eſſe, propterea quòd ſuperat: at quod ineſt, ſuperatur. Et ſi maximum maximo præſtat, etiam genera generibus &, ſi quæcunque genera generibus, etiam maximum maximo. vt ſi maximus vir muliere maxima maior, etiam omnino viri mulieribus maiores, & ſi viri mulieribus omnino maiores, etiam vir maximus maxima muliere maior. Proportione enim reſpondent exuperantiæ generum, & maximarũ, quæ ſunt in ipſis. Et quando hoc quidem illi conſequens eſt: illud verò huic nequaquã. Conſequens verò eſt, vel huic ſimul, vel illi poſterius: vel facultate. Ineſt enim vſus conſequentis in vſu alterius. Et conſequens ſimul eſt, ſi eſt ſanus, vt viuat. Huic verò nõ illud. At poſterius, ſi diſcit, vt ſciat. Facultate verò, ſi ſacrilegus eſt, vt ſurripiat: qui enim ſacrilegus fuerit, etiam ſurripiet. Et quæ ſuperant ipſo maius, maiora ſunt: neceſſe enim eſt ſuperare etiam maius. Et maioris boni efficientia, maiora ſunt. Hoc enim erat maioris efficiens eſſe.

A οἷον δή. καὶ ἃ μηδεὶς φαῦλος· ἐπαινετὰ γὰρ μᾶλλον. καὶ ὧν ἐπιθυμοῦντες τυγχάνουσιν· οὐ γὰρ μόνον ἡδύ, ἀλλὰ καὶ βέλτιον φαίνεται. καὶ μάλιστα ἕκαστοι πρὸς ἃ τοιοῦτοι εἰσί, οἱ φιλόνικοι, εἰ νίκη ἔσται· οἱ φιλότιμοι, εἰ τιμή· οἱ φιλοχρήματοι, εἰ χρήματα· καὶ οἱ ἄλλοι ὡσαύτως. περὶ μὲν οὖν ἀγαθοῦ καὶ τοῦ συμφέροντος, ἐκ τούτων ληπτέον τὰς πίστεις.

Κεφάλαιον ζ.

B ΕΠεὶ δὲ πολλάκις ὁμολογοῦντες ἄμφω συμφέρειν, περὶ τοῦ μᾶλλον ἀμφισβητοῦσιν, ἐφεξῆς ἂν εἴη λεκτέον περὶ τοῦ μείζονος ἀγαθοῦ, καὶ τοῦ μᾶλλον συμφέροντος. ἔστω δὴ ὑπερέχον μὲν, τοσοῦτον καὶ ἔτι· ὑπερεχόμενον δὲ, τὸ ἐνυπάρχον. καὶ μεῖζον μὲν ἀεὶ καὶ πλεῖον πρὸς ἔλαττον· μέγα δὲ καὶ μικρὸν, καὶ πολὺ καὶ ὀλίγον, πρὸς τὸ τῶν πολλῶν μέγεθος·
C καὶ ὑπερέχον μὲν, τὸ μέγα· τὸ δὲ ἐλλεῖπον, μικρόν. καὶ πολὺ, καὶ ὀλίγον ὡσαύτως. ἐπεὶ οὖν ἀγαθὸν λέγομεν, τό, τε αὐτὸ αὑτοῦ ἕνεκα καὶ μὴ ἄλλου αἱρετόν· καὶ οὗ πάντα ἐφίεται· καὶ ὃ νοῦν ἂν καὶ φρόνησιν λαβόντα ἕλοιτο· καὶ τὸ ποιητικὸν καὶ τὸ φυλακτικὸν, ἢ ᾧ ἕπεται τὰ τοιαῦτα· τὸ δ᾽ οὗ ἕνεκα, τὸ τέλος ἐστί· τέλος δ᾽ ἐστὶν, οὗ ἕνεκα τὰ ἄλλα· αὐτῷ δὲ ἀγαθὸν, τὸ πρὸς αὐτὸ ταῦτα πε-
D πονθός· ἀνάγκη τά τε πλείω τοῦ ἑνὸς καὶ τῶν ἐλαττόνων, συναριθμουμένου τοῦ ἑνὸς ἢ τῶν ἐλαττόνων, μεῖζον ἀγαθὸν εἶναι· ὑπερέχει γάρ· τὸ δὲ ἐνυπάρχον, ὑπερέχεται. καὶ ἐὰν τὸ μέγιστον τοῦ μεγίστου ὑπερέχῃ, καὶ αὐτὰ αὐτῶν, καὶ ὅσα αὐτὰ αὐτῶν, καὶ τὸ μέγιστον τοῦ μεγίστου· οἷον, εἰ ὁ μέγιστος ἀνὴρ γυναικὸς τῆς μεγίστης μείζων, καὶ ὅλως οἱ ἄνδρες τῶν γυναικῶν
E μείζους· καὶ εἰ οἱ ἄνδρες τῶν γυναικῶν ὅλως μείζους, καὶ ἀνὴρ ὁ μέγιστος τῆς μεγίστης γυναικὸς μείζων· ἀνάλογον γὰρ ἔχουσιν αἱ ὑπεροχαὶ τῶν γενῶν, καὶ τῶν μεγίστων ἐν αὐτοῖς. καὶ ὅταν, τόδε μὲν τῷδε ἕπηται, ἐκεῖνο δὲ τούτῳ μὴ. ἕπεται δὲ, ἢ τῷ ἅμα, ἢ τῷ ἐφεξῆς, ἢ τῇ δυνάμει· ἐνυπάρχει γὰρ ἡ χρῆσις ἡ τοῦ ἑπομένου ἐν τῇ θατέρου. ἕπεται δὲ, ἅμα μὲν, τῷ ὑγιαίνειν τὸ ζῆν. τούτῳ δὲ ἐκεῖνο οὔ· ὕ-
F στερον δὲ τῷ μανθάνειν τὸ ἐπίστασθαι· δυνάμει δὲ, τῷ ἱεροσυλεῖν τὸ ἀποστερεῖν· ὁ γὰρ ἱεροσυλήσας, κἂν ἀποστερήσειε· καὶ τὰ ὑπερέχοντα τοῦ αὐτοῦ μείζονι, μείζω· ἀνάγκη γὰρ ὑπερέχειν καὶ τοῦ μείζονος. καὶ τὰ μείζονος ἀγαθοῦ ποιητικὰ, μείζω· τοῦτο γὰρ ἦν τὸ μείζονος ποιητικῷ εἶναι·

καὶ οὗ